www.tezaurliturgic.ro

**23 APRILIE**

# EKLOGA SF.MARE MUCENIC GHEORGHE, PURTĂTORUL DE BIRUINȚĂ



**SF.ANA-ATHOS,2007**


Ὁ ἍΓ.
ΓΕΩΡΓΙ
ΟΣ

www.tezaurliturgic.ro



# ΕΚΛΟΓΗ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΤΡΟΠΑΙΟΦΟΡΟΥ

Ἦχος πλ. δ΄. Καὶ δύναμις. Ἀλληλούϊα.

Στίχ. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.

Χαίροις τῶν Ἀθλοφόρων ἀκρότης, τῆς Ἐκκλησίας καλλονή, Μεγαλομάρτυς Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

Χαίροις στρατιῶτα Χριστοῦ περίδοξε, ὁ θριαμβεύσας πολλαχῶς, Τροπαιοφόρε Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Ἐπὶ τὸν λαόν σου, κατεπανουργεύσαντο γνώμην.

Χαίροις τῆς εὐσεβείας ὁ γεωργός, ὁ τῇ ἀθλήσει γεωργήσας τὰ κρείττω, μεγάλαθλε Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Καὶ ἐβουλεύσαντο κατὰ τῶν Ἁγίων σου.

Χαίροις τροπαίων θεία στηλογραφία, θαυμάτων ξένων αὐτουργός, θαυματοβρύτα Γεώργιε, Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Στίχ. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ.

Χαίροις τῶν αἰχμαλώτων ὁ ῥύστης, τῶν πασχόντων ἀρωγός, καὶ θλιβομένων καταφύγιον Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν.

Χαίροις τὸ γλυκύκαρπον κλῆμα, τῶν δωρεῶν τῆς ἀθλήσεως, θεοδόξαστε Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Χαίροις ὁ καταπλήξας τοὺς τυράννους, τοῖς ὑπερφυέσι σου ἄθλοις, ἀθλονῖκα Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν.

Χαίροις ὁ τῶν Μαρτύρων ταξίαρχος, τῶν εὐσεβῶν προασπιστὴς Γεώργιε, καὶ πάσης γλώσσης ἐντρύφημα, Ἀλληλούϊα.

Στίχ. Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.

Χαίροις τρισαριστεῦ μεγαλώνυμε, ἀριστειῶν οὐρανίων ὁ θρίαμβος Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου.

Χαίροις τῆς οἰκουμένης ἡ δόξα, καὶ παμφαέστατος λύχνος, Ἀθλητὰ Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν.

Χαίροις, πολυδόξαστε Γεώργιε, ὁ πανταχοῦ προφθάνων, τοὺς καλοῦντάς σε εἰς βοήθειαν, Ἀλληλούϊα.

Στίχ. Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Χαίροις τῆς θεϊκῆς ἐνεργείας, ἀθλοφορικὸν ὄργανον, Ἀθλοφόρε Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Φῶς ἀνέτειλε τῷ Δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Χαίροις πολύτλα Γεώργιε, πολύαθλε ὁπλῖτα, Μάρτυς Χριστοῦ μυριόνικε, Ἀλληλούϊα.

Στίχ. Εἰς μνημόσυνον αἰώνιον, ἔσται δίκαιος.

Χαίροις τῶν πασχόντων παραμυθία, τῶν ἀσθενούντων θεραπευτής, συμπαθέστατε Γεώργιε ἔνδοξε, Ἀλληλούϊα.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις ὁ τῶν θαυμάτων πολυχεύμων κρουνός, ὁ πᾶσαν κτίσιν ἀρδεύων, Τροπαιοφόρε Γεώργιε, Ἀλληλούϊα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ὁ τῷ Χριστῷ πεφιλημένος, δεδοξασμένε Γεώργιε, τῶν εὐσεβῶν ἀγαλλίαμα, Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Χαίροις μυριόνικε Γεώργιε, ὁ μέγας ἡμῶν βοηθός, καὶ πρέσβυς πρὸς Κύριον θερμότατος, Ἀλληλούϊα.

Στίχ. Καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Χαίροις Ἀθλητὰ ὑπερθαύμαστε, ὁ τῶν τελούντων τὴν μνήμην σου, ἀντιλήπτωρ μέγιστος Γεώργιε, Ἀλληλούϊα.

Δόξα. Τριαδικόν.

Ἡ ὑπερούσιος οὐσία, ἡ ἐν τρισὶ προσώποις γνωριζομένη Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα Ἅγιον, τὸ ὁμοβασίλειον κράτος, ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, ἀξίωσον ἡμᾶς ὡς εὔσπλαγχνος Κύριε, τῆς οὐρανίου βασιλείας σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ πρὸ αἰώνων τῷ Κτίσαντι, προορισθεῖσα ὡς ηὐδόκησε, καὶ ἐπ᾽ ἐσχάτων αὐτὸν κυήσασα, ὑπερφυῶς Μητροπάρθενε, ῥῦσαι τὰς ψυχὰς ἡμῶν, τῆς δυναστείας τοῦ ἀλλοτρίου, μητρικῇ σου χρηστότητι, καὶ δίδου ἡμῖν Ἄχραντε, τὰ πρὸς σωτηρίαν αἰτήματα.